ὡς σὺ φῄς, ἀλλ' ἐν φίλοις ποιήσῃ τὴν ἀπολογίαν. ἐγὼ δὲ καὶ συνεξετάζεσθαί σοι ἕτοιμος ἐπὶ τῆς δίκης.

ΛΥΚΙΝΟΣ

**16** 'Αλλὰ ἐκεῖνο ἀνιαρόν, ὦ Πολύστρατε, ὅτι μὴ ἐκείνης παρούσης ποιήσομαι τοὺς λόγους· μακρῷ γὰρ ἂν οὕτως ἄμεινον ἦν. νῦν δὲ ἀνάγκη ἀπ' ἐντολῆς ἀπολογήσασθαι. ἀλλ' εἴ μοι τοιοῦτος ἀγγελιαφόρος γένοιο πρὸς αὐτὴν οἷος παρ' ἐκείνης πρός με γεγένησαι, τολμήσω ἀναρρῖψαι τὸν κύβον.

ΠΟΛΥΣΤΡΑΤΟΣ

Θάρρει, ὦ Λυκῖνε, τούτου γε ἕνεκα, ὡς οὐ φαῦλόν με ὑποκριτὴν ἕξων τῆς ἀπολογίας, πειρώμενος διὰ βραχέων εἰπεῖν, ὡς μᾶλλον μνημονεύσαιμι.

ΛΥΚΙΝΟΣ

Καὶ μὴν πάνυ μὲν ἔδει μοι μακρῶν τῶν λόγων πρὸς οὕτω σφοδρὰν τὴν κατηγορίαν. ὅμως δὲ σοῦ ἕνεκα ἐπιτεμοῦμαι τὴν ἀπολογίαν. καὶ παρ' ἐμοῦ τοίνυν τάδε αὐτῇ ἀπάγγελλε.

ΠΟΛΥΣΤΡΑΤΟΣ

Μηδαμῶς, ὦ Λυκῖνε, ἀλλ' ὥσπερ αὐτῆς ἐκείνης παρούσης λέγε τὸν λόγον, εἶτ' ἐγὼ μιμήσομαί σε πρὸς αὐτήν.

ΛΥΚΙΝΟΣ

Οὐκοῦν ἐπειδήπερ οὕτω σοι δοκεῖ, ὦ Πολύστρατε, ἡ μὲν πάρεστι καὶ προείρηκε δηλαδὴ ἐκεῖνα ὁπόσα σὺ παρ' αὐτῆς ἀπήγγειλας, ἡμᾶς δὲ χρὴ τῶν δευτέρων λόγων ἐνάρχεσθαι. καίτοι—οὐ γὰρ ὀκνήσω πρὸς σὲ εἰπεῖν ὃ πέπονθα—οὐκ οἶδ' ὅπως φοβερώτερόν μοι τὸ πρᾶγμα πεποίηκας, καὶ ὡς ὁρᾷς ἱδρῶ τε ἤδη καὶ δέδοικα καὶ μονονουχὶ καὶ ὁρᾶν [καὶ] αὐτὴν οἴομαι, καὶ τὸ πρᾶγμα πολλήν μοι τὴν ταραχὴν ἐμπεποίηκεν. ἄρξομαι δ' ὅμως· οὐ γὰρ οἷόν τε ἀναδῦναι ἤδη παρούσης.